οἵ τε γῆς ἔνερθ᾽ ἀδελφοὶ χὠ τεκὼν ἡμᾶς πατήρ,
οὐ μακρὰν δέξεσθέ μ᾽· ἥκω δ᾽ εἰς νεκροὺς νικη-
φόρος
καὶ δόμους πέρσασ᾽ Ἀτρειδῶν, ὧν ἀπωλόμεσθ᾽
ὕπο.

ΧΟ. Ἑκάβης γεραιᾶς φύλακες, οὐ δεδόρκατε
δέσποιναν ὡς ἄναυδος εἰς πέδον πίτνει;
οὐκ ἀντιλήψεσθ᾽; ἢ μεθήσετ᾽, ὦ κακαί,
γραῖαν πεσοῦσαν; αἴρετ᾽ εἰς ὀρθὸν δέμας.

ΕΚ. ἐᾶτέ μ᾽· οὔτοι φίλα τὰ μὴ φίλ᾽, ὦ κόραι·
κεῖσθαι πεσοῦσαν· πτωμάτων γὰρ ἄξια
πάσχω τε καὶ πέπονθα κἄτι πείσομαι.
ὦ θεοί· κακοὺς μὲν ἀνακαλῶ τοὺς συμμάχους,
ὅμως δ᾽ ἔχει τι σχῆμα κικλήσκειν θεούς,
ὅταν τις ἡμῶν δυστυχῆ λάβῃ τύχην.
πρῶτον μὲν οὖν μοι τἀγάθ᾽ ἐξᾷσαι φίλον·
τοῖς γὰρ κακοῖσι πλείον᾽ οἶκτον ἐμβαλῶ.
ἦμεν τύραννοι κεἰς τύραννʼ ἐγημάμην,
κἀνταῦθ᾽ ἀριστεύοντ᾽ ἐγεινάμην τέκνα,
οὐκ ἀριθμὸν ἄλλως, ἀλλ᾽ ὑπερτάτους Φρυγῶν·
οὐ Τρῳὰς οὐδ᾽ Ἑλληνὶς οὐδὲ βάρβαρος
γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.
κἀκεῖνά τ᾽ εἶδον δορὶ πεσόνθ᾽ Ἑλληνικῷ,
τρίχας δ᾽ ἐτμήθην τάσδε πρὸς τύμβοις νεκρῶν,
καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
κλύουσ᾽ ἔκλαυσα, τοῖσδε δ᾽ εἶδον ὄμμασιν
αὐτὴ κατασφαγέντ᾽ ἐφ᾽ ἑρκείῳ πυρᾷ,
πόλιν θ᾽ ἁλοῦσαν. ἃς δ᾽ ἔθρεψα παρθένους
εἰς ἀξίωμα νυμφίων ἐξαίρετον,
ἄλλοισι θρέψασ᾽ ἐκ χερῶν ἀφῃρέθην.

---

460. *ἧξω AB* 463. *εἰς ᾅδου A εἰς ἅδην B* 464. *ἀντιλήψετ᾽* BCb 465. *ὀρθὸν πάλιν AB* 474. *ἤμην τύραννος* Apsines. 479. *καὶ ταῦτ᾽ ἐπεῖδον* idem. 480. om. idem. *τ᾽ AB τύμβον AB* 482. *ἤκουον, ἀλλὰ τοῖσδ᾽ ἐπεῖδον ὄμμασι* Apsines. *τοῖσδέ γ᾽ A τοῖσδ᾽ B* 483. *ἑρκίῳ* libri. *ἑρκείου Διός* Apsines, qui subiungit Androm. 401. 484. *θανοῦσαν AB*